www.tezaurliturgic.ro

## 11 FEBRUARIE

## 20 OCTOMBRIE

## 17 APRILIE

# PARACLISUL

## SF.IERARH-MUCENIC VLASIE

## AL SEBASTEI CAPADOCIEI

## SF.CUVIOS

## GHERASIM DE LA KEFALONIA

## SF.IERARH

## MACARIE NOTARA

## AL CORINTULUI

ATENA,2011

www.tezaurliturgic.ro



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΒΛΑΣΙΟΝ ΕΠΙΣΚΟΠΟΝ ΣΕΒΑΣΤΕΙΑΣ, ΓΕΡΑΣΙΜΟΝ ΤΟΝ ΕΝ ΚΕΦΑΛΛΗΝΙΑ καί ΜΑΚΑΡΙΟΝ ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΚΟΡΙΝΘΟΥ τούς τιμωμένους είς Τρίκαλ Κορινθίας

Ποίημα Ἀντωνίου Μάρκου (2011)
Κέντρον Ἁγιολογικῶν Μελετῶν
«Ὅσιος Συμεών ὁ Μεταφραστής»

Ὁ Ἱερεύς ἄρχεται τῆς Παρακλήσεως μέ τήν δοξολογικήν ἐκφώνησιν: Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καί ἀεί καί είς τούς αἰῶνας τῶν αἰώνων.

Ψαλμός ρμβ’ (142).

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων: Θεός Κύριος καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. α’. Ἐξολολογεῖσθε τῷ Κυρίῳ καί ἐπικαλεῖσθε τό ὄνομα τό Ἅγιον Αὐτοῦ. Θεός Κύριος καί ἐπέφανεν ἡμῖν…

Στίχ. β’. Πάντα τά ἔθνη ἐκύκλωσάν με καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Θεός Κύριος καί ἐπέφανεν ἡμῖν…
Στίχ. γ’. Παρά Κυρίου ἐγένετο αὕτη καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν. Θεός Κύριος καί ἐπέφανεν ἡμῖν…
Εἶτα τά παρόντα Τροπάρια.
Ἦχος δ’. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ. Ταῖς τῶν Πατέρων ἱκεσίαις, Οἰκτῆρμον, Ἱερομάρτυρος Βλασίου Ἱεράρχου, Γερασίμου Ὁσίου τε καί Μακαρίου ὁμοῦ· πέμψον τά ἐλέη Σου ἐπί λαόν ἀσεβοῦντα καί παραπικραίνοντα, Σέ τόν τῶν ὅλων Δεσπότην· αὐτούς προσάγωμεν γάρ ὡς πρεσβευτάς, ὡς κεκτημένους τήν χάριν Σου, Κύριε.
Δόξα. Ἀπολυτίκιον. Ἦχος α’.
Τῆς ἐρήμου πολίτης. Τούς ἐν Τρικάλοις Πατέρας καί Ἁγίους τιμήσωμεν, ὁμοῦ τῷ Γερασίμῳ Ἱερομάρτυρα Βλάσιον, σύν θείῳ Μακαρίῳ Νοταρᾶ· αὐτοί γάρ τῆς Τριάδος ἐρασταί, ἀναδειχθέντες ἀγῶσι πνευματικοῖς, ἀξίως ἐκομίσαντο τά βραβεῖα. Δόξα, οὖν, ἐκβοήσωμεν αὐτοῖς, δόξα τῷ ἀναδείξαντι, δόξα τῷ ἐν Ἁγίοις θαυμαστῷ, Χριστῷ τῷ Θεῷ ἡμῶν.
Καί νῦν. Ἀπολυτίκιον Παναγίας Κορυφιωτίσσης. Ἦχος δ’.
Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ. Τῇ Θεοτόκῳ ὡς μητρί ἐκβοῶμεν, οἱ τυραννούμενοι ἐχθροῦ δυναστείᾳ, τῇ θεϊκῇ Σου σκέπασον ἀγάπῃ ἡμᾶς· σπεῦσον, Κόρη, ῥύσασθαι τῶν τοῦ Βελίαρ παγίδων καί τῆς

καταθλίψεως καί τῆς δαιμόνων μανίας· Σοῦ γάρ ὑπάρχει ἡ Εἰκών τῆς Κορυφῆς, ἡμῶν προστάτις, σκέπη τε καί ἀντίληψις.

Ψαλμός ν’ (50).

Εἶτα ψάλλομεν ἐξ ὑπαμοιβῆς, πραείᾳ τῇ φωνῇ καί ἐν εὐλαβείᾳ, τόν παρόντα Κανόνα, οὗ ἡ ἀκροστιχίς, «ΤΡΙΑΔΑ ΠΑΤΕΡΩΝ ΤΡΙΚΑΛΩΝ ΥΜΝΩ. ΑΝΤΩΝΙΟΣ».

Ὠδή α’.
Ἦχος πλ. δ’. Ὁ Εἱρμός. Ὑγράν διοδεύσας. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν.
Τριάδα Πατέρων ἐπιφανῶν, ὑμνήσωμεν πάντες, αὐτοῖς προσπίπτοντες οἱ πιστοί· αἰτούμενοι θείας βοηθείας παρά Κυρίου, αὐτῶν ταῖς δεήσεσι.
Ἅγιε τοῦ Θεοῦ Βλάσιε, πρέσβευε ὑπέρ ἡμῶν. Ῥῶσιν καί ὑγείαν δίδου ἡμῖν, ὦ Βλάσιε μάκαρ, Ὀρθοδόξων ὁ βοηθός, τῇ γάρ ἐν Τρικάλοις Μονῇ Σου, πάντες προσφεύγωμεν ἐν περιστάσεσι.
Ἅγιε τοῦ Θεοῦ Γεράσιμε, πρέσβευε ὑπέρ ἡμῶν. Ἴασιν δώρησαι τῶν ψυχῶν, ἅμα καί σωμάτων, ὁ τῶν Τρικάλων γόνος λαμπρός καί Κεφαλληνίας ὁ προστάτης καί τῶν δαιμόνων διώκτης Γεράσιμε.
Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. Ἄνασσα, Κόρη, τῶν οὐρανῶν, πρεσβείαις Πατέρων εὐσπλάχνως πρόσβλεψον ἐφ’ ἡμᾶς, τούς κατακλυσμῷ τῆς ἁμαρτίας, παρασυρθέντας εἰς βάθη κολάσεως.

Ὠδή γ’.
Ὁ Εἱρμός. Οὐρανίας ἁψῖδος. Ἅγιε τοῦ Θεοῦ Μακάριε, πρέσβευε ὑπέρ ἡμῶν. Δυνάμει Πνεύματος, Πάτερ, οὐρανοφάντωρ Μακάριε, λόγοις Σοῖς ἡμᾶς καταρδεύεις, ὅθεν στερέωσον, ἐν τῇ ἀγάπῃ Χριστοῦ, ὑπέρ ἡμῶν τοῦ παθόντος καί τῶν Μυστηρίων Του ἀξίους ποίησον.
Ἅγιε τοῦ Θεοῦ Βλάσιε, πρέσβευε ὑπέρ ἡμῶν. Αὐγαῖς θείου ἐλέους καθικετεύομεν, Βλάσιε, πᾶσι αὐγασθῆναι τοῖς πόθῳ πρός Σέ προσφεύγουσι· τῇ ἐν Τρικάλοις Μονῇ καί τῇ σεπτῇ Σου Εἰκόνι, τοῦ λαβεῖν τήν ἴασιν ταῖς Σαῖς δεήσεσι.
Ἅγιε τοῦ Θεοῦ Γεράσιμε, πρέσβευε ὑπέρ ἡμῶν. Πάτερ θεῖε τοῖς πόθῳ ὑπό τήν σκέπην Σου σπεύδοντας καί γονυκλινῶς αἰτουμένοις τήν Σήν ἀντίληψιν, μή ἐπιλάθου, φωστήρ Κεφαλληνίας, Σῶν τέκνων καί τῶν ὁμοχώρων Σου, κλεινέ Γεράσιμε.
Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. Ἀνυμνοῦμεν, Παρθένε, τά Σά θαυμάσια ψάλλοντες, χαῖρε τῶν παρθένων ἡ δόξα, ἡμῶν τό στήριγμα. Τῇ ἱκεσίᾳ, Σεμνῇ, τῶν ἐν Τρικάλοις Πατέρων, πάντας περιφρούρησον, ὦ Κορυφιώτισσα.

Διάσωσον ταῖς τῶν Πατέρων πρεσβείαις Παντελεήμων, ὅτι πάντες κατόπιν Σοῦ αὐτοῖς καταφεύγομεν, ὡς ἔχοντας τήν πρός Σέ παρρησίαν.

Ἐπίβλεψον ἐπικαμπτόμενος Θεοτόκου καί τῶν Πατέρων ταῖς λιταῖς Οἰκτῆρμον, ἐφ' ἡμᾶς τούς ἀσθενεῖς καί λύτρωσαι τόν λαόν Σου.

Κάθισμα.

Ἦχος β'. Τά ἄνω ζητῶν. Πατέρων τῇ πρεσβείᾳ νῦν προσπίπτωμεν, οἱ ἐν πόνοις ψυχῆς καί θλίψεσι ὑπάρχοντες καί δι' αὐτῶν αἰτούμεθα τό τοῦ Κυρίου ἄμετρον ἔλεος καί τήν ταχεῖαν Τούτου συνδρομήν καί τήν βεβαίαν Αὐτοῦ ἀντίληψιν.

Ὠδή δ'.

Ὁ Εἱρμός. Εἰσακήκοα Κύριε. Ἅγιε τοῦ Θεοῦ Μακάριε, πρέσβευε ὑπέρ ἡμῶν. Τόν τῆς Χίου προστάτην καί Τρικάλων γόνον τόν ἐνδοξώτατον, ἀνυμνήσωμεν θεόφρονες, τόν οὐρανοβάμονα Μακάριον.

Ἅγιε τοῦ Θεοῦ Βλάσιε, πρέσβευε ὑπέρ ἡμῶν. Εὐλογοῦμεν Κυρίου σεπτόν θεράποντα Βλάσιον, τῇ Εἰκόνι του προσπίπτοντες τῇ θαυματουργῷ κατασπαζόμενοι.

Ἅγιε τοῦ Θεοῦ Γεράσιμε, πρέσβευε ὑπέρ ἡμῶν. Ῥῦσαι πάντας τούς πόθῳ πρός Σέ προσφεύγοντας Ὅσιε, τῇ δυνάμει τῇ τοῦ Πνεύματος, τῶν ἐνεργειῶν τῶν τοῦ ἀλάστορος.

Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. Ὦ Πανύμνυτε Μῆτερ, τῇ Σῇ προνοίᾳ προσπίπτομεν, τήν

βεβαίαν Σου αἰτούμενοι καί ἀναγκαῖαν πᾶσιν ὑποστήριξιν.

Ὠδή ε'.

Ὁ Εἱρμός. Φώτισον ἡμᾶς. Ἅγιε τοῦ Θεοῦ Μακάριε, πρέσβευε ὑπέρ ἡμῶν. Νεῦσον πρός ἡμᾶς τοῖς προσπίπτουσι Σῇ χάριτι καί ἐπόμβρησον ἡμῖν τόν ἱλασμόν, τοῖς ἱκέταις Σου, Μακάριε θεόληπτε.

Ἅγιε τοῦ Θεοῦ Βλάσιε, πρέσβευε ὑπέρ ἡμῶν. Τεῖχος νοερόν ταῖς εὐχαῖς Σου ἡμῖν ὕψωσον, τοῦ Βελίαρ καταργῶν τάς προσβολάς, ὡς τοῦ Κυρίου ἀρχιθύτης, Πάτερ Βλάσιε.

Ἅγιε τοῦ Θεοῦ Γεράσιμε, πρέσβευε ὑπέρ ἡμῶν. Ῥῦσαι πειρασμῶν καί κινδύνων ταῖς πρεσβείαις Σου, τούς προστρέχοντας Σῇ σκέπῃ καί ναῷ, ἐν ὅ ἄφθορον τό σκῆνος Σου, Γεράσιμε.

Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. Ἰάτρευσον ἡμῶν καί ἐπούλωσον τά τραύματα, ἐπικαμπτόμενη Πατέρων ταῖς λιταῖς, τῷ Υἱῷ Σου δέ μεσίτευσον, Πανύμνητε.

Ὠδή στ'.

Ὁ Εἱρμός. Τήν δέησιν. Ἅγιε τοῦ Θεοῦ Μακάριε, πρέσβευε ὑπέρ ἡμῶν. Κορίνθου μέν ἀνεδείχθης ἀρχιθύτης τε καί ποιμήν τῶν λογικῶν προβάτων καί Κολλυβάδων ἡγέτης καί Χίου θεῖος προστάτης, ἡμῶν δέ τό καύχημα· διό Σύ, Πάτερ ἀγαθέ, τά νῦν προσπίπτομεν, θεῖε Μακάριε.

Ἅγιε τοῦ Θεοῦ Βλάσιε, πρέσβευε ὑπέρ ἡμῶν. Ἀπέλασον ἀφ’ ἡμῶν πᾶσαν λῦμιν, Βλάσιε σεπτέ Ἱεράρχα, ὡς εἴληφός πλουσίαν τήν χάριν, τοῦ θεραπεύειν τά πάθη καί τραύματα καί τάς ὀδύνας τῆς σαρκός καί τῆς ψυχῆς τήν σκοτόμαιναν, Ἔνδοξε.
Ἅγιε τοῦ Θεοῦ Γεράσιμε, πρέσβευε ὑπέρ ἡμῶν. Λῦσον πειρασμῶν τόν κλοιόν, Πάτερ Γεράσιμε, Σαῖς ἐμπύροις πρός Θεόν ἱκεσίαις, τῆς ἀφθαρσίας γάρ ἐκομίσω τήν χάριν καί δωρεάν τήν τοῦ Πνεύματος, Ὅσιε· διό ὡς προστάτης ἀληθῶς τῆς Ἑπτανήσου καί Τρίκκης τεμίμησαι.
Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. Ὡραῖος ἦν ὁ καρπός τῆς γαστρός Σου, ὁ Πανοικτῆρμον Κύριος, Παρθένε· Αὐτόν δυσώπησον δεόμεθα, Κόρη, τούς ἐλεῆσαι ἡμᾶς τούς προστρέχοντας, ὑπό τήν σκέπην τήν σεπτήν, Σοῦ τῆς Μητρός Του, Μαρία Θεόνυμφε.

Διάσωσον ταῖς τῶν Πατέρων πρεσβείαις Παντελεήμων, ὅτι πάντες κατόπιν Σοῦ αὐτοῖς καταφεύγομεν, ὡς ἔχοντας τήν πρός Σέ παρρησίαν. Ἐπίβλεψον ἐπικαμπτόμενος Θεοτόκου καί τῶν Πατέρων ταῖς λιταῖς Οἰκτῆρμον, ἐφ’ ἡμᾶς τούς ἀσθενεῖς καί λύτρωσαι τόν λαόν Σου.

Ὁ Ἱερεύς: Ἐκ τοῦ κατά Ἰωάννην ἁγίου Εὐαγγελίου, τό ἀνάγνωσμα.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἄν τὸ ἴδιον ἐφίλει. Ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ’ ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύεται τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν. Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξωσιν. Εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. Νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν Πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα αὐτοῖς, ἅ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον. Νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. Ἀλλ’ ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὅν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὅ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ’ ἀρχῆς μετ’ ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς, ἀλλ’ ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ. (ιε’ 17 – 27 καὶ ιστ’ 1 - 2).

Εἶτα ψάλλομεν. Ἦχος β'. Δόξα. Πατέρων ταῖς πρεσβείαις, λιταῖς τε, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Καί νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τό ἀνόμημά μου.
Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Δεῦτε τούς Πατέρας νῦν, τούς ἐν Τρικάλοις, ἐν ὕμνοις καί ᾠδαῖς τιμήσωμεν, οἱ αὐτοῖς προσπίπτοντες μετά πίστεως· τῷ Θεῷ οὗτοι γάρ, ὑπέρ λαοῦ ἅπαντος, μετά ζέσεως προσδέονται, ἐπικαλούμενοι ἐφ' ἡμᾶς Κυρίου τό ἔλεος καί Τούτου τήν σωτήριον ἐπί τοῖς δεομένοις βοήθειαν· χαίρετε βοῶντες, δοχεῖα τοῦ Κυρίου ἐκλεκτά καί τῆς Αὐτοῦ παρατάξεως στρατιῶται τίμιοι.

Εὐθύς ἐκφωνεῖται ὑπό τοῦ Ἱερέως ἡ λιτανευτική ἱκεσία: Σῶσον ὁ Θεός τόν λαόν Σου καί εὐλόγησον τήν κληρονομίαν Σου. Ἐπίσκεψαι τόν κόσμον Σου ἐν ἐλέει καί οἰκτιρμοῖς, ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων καί κατάπεμψον ἡμῖν τά ἐλέη Σου τά πλούσια. Πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καί Ἀειπαρθένου Μαρίας. Δυνάμει τοῦ Τιμίου καί Ζωοποιοῦ Σταυροῦ. Προστασίαις τῶν Τιμίων, Ἐπουρανίων Δυνάμεων Ἀσωμάτων. Ἱκεσίαις τοῦ Τιμίου, Ἐνδόξου Προφήτου Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου. Τῶν Ἁγίων Ἐνδόξων καί

Πανευφήμων Ἀποστόλων. Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, Μεγάλων Ἱεραρχῶν καί Οἰκουμενικῶν Διδασκάλων: Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καί Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καί Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, Πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου Ἐπισκόπου Μύρων τῆς Λυκίας καί Σπυρίδωνος Ἐπισκόπου Τριμυθοῦντος, τῶν Θαυ ματουργῶν. Τῶν ἁγίων, ἐνδόξων καί καλλινίκων Μαρτύρων. Τῶν Ἁγίων ἐνδόξων Μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος καί Θεοδώρου τοῦ Στρατηλάτου. Τῶν ἁγίων Ἱερομαρτύρων Χαραλάμπους καί Ἐλευθερίου. Τῶν Ὁσίων καί Θεοφόρων Πατέρων ἡμῶν. Τῶν Ἁγίων Βλασίου Ἐπισκόπου Σεβαστείας, Γερασίμου τοῦ ἐν Κεφαλληνίᾳ καί Μακαρίου Ἀρχιεπισκόπου Κορίνθου. (Τοῦ Ἁγίου τοῦ Ναοῦ, ἐφ' ὅσον δέν ἐμνημονεύθη ἐν τοῖς ἄνω). Τῶν Ἁγίων καί Δικαίων Θεοπατόρων Ἰωακείμ καί Ἄννης. (Τῶν Ἁγίων τῆς ἡμέρας). Καί Πάντων Σου τῶν Ἁγίων. Ἱκετεύομέν Σε, Μόνε Πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων Σου καί ἐλέησον ἡμᾶς.

Ὠδή ζ'.
Ὁ Εἰρμός. Οἱ ἐκ τῆς Ἰουδαίας. Ἅγιε τοῦ Θεοῦ Μακάριε, πρέσβευε ὑπέρ ἡμῶν. Νέον ἐν Ἱεράρχαις, Πατέρα Κολλυβάδων καί τῶν ἐν Χίῳ μιδάδων τόν

πρύτανην, Μακάριον τιμῶμεν, εὐλογοῦντες δέ ψάλλομεν· ὁ Μακαρίου καί ἡμῶν Θεός εὐλογητός εἶ.
Ἅγιε τοῦ Θεοῦ Βλάσιε, πρέσβευε ὑπέρ ἡμῶν.
Ὑμνοῦμεν Σεβαστείας τόν θεῖον ἀρχιθύτην καί τῶν Τρικάλων τά νῦν, τόν ἅμισθον προστάτην, προχέοντα τοῖς πᾶσι ἰάματα τοῖς ψάλλουσι· ὁ τοῦ Βλασίου καί ἡμῶν Θεός εὐλογητός εἶ.
Ἅγιε τοῦ Θεοῦ Γεράσιμε, πρέσβευε ὑπέρ ἡμῶν.
Μνήμην τοῦ Γερασίμου, τοῦ Νοταράδων γόνου καί Ἐκκλησίας Πατρός, Ὀρθόδοξοι τιμῶμεν, αὐτός γάρ ἰαμάτων, παρά Κυρίου τῆς χάριτος ἔτυχεν· ὁ Γερασίμου καί ἡμῶν Θεός εὐλογητός εἶ.
Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. Ναός Σου Θεοτόκε, καί ἡ ἐν Καμαρίῳ Κορυφιωτίσσης Μονή, ἅμισθον ἰατρεῖον πέλει νοσημάτων, διό εὐγνωμόνως καί ψάλλομεν· ὁ τῶν Πατέρων ἡμῶν Θεός εὐλογητός εἶ.

Ὠδή η'.
Ὁ Εἱρμός. Τόν Βασιλέα τῶν οὐρανῶν. Ἅγιε τοῦ Θεοῦ Μακάριε, πρέσβευε ὑπέρ ἡμῶν. Ὡς Ἱεράρχην τῆς Ἐκκλησίας τιμῶμεν καί ὡς Πατέρα τῶν Κολλυβάδων προφρόνως καί ὡς Τρικάλων, Μακάριε, τόν προστάτην.
Ἅγιε τοῦ Θεοῦ Βλάσιε, πρέσβευε ὑπέρ ἡμῶν. Ἄνοιξον, Πάτερ, τῆς εὐσπλαχνίας τήν πύλην τήν τοῦ Κυρίου, Βλάσιε ταῖς εὐχαῖς Σου, ἐπί τοῖς δούλοις Αὐτοῦ καί τοῖς ἱκέταις.

Ἅγιε τοῦ Θεοῦ Γεράσιμε, πρέσβευε ὑπέρ ἡμῶν. Νικῆσαι ὅλως τάς προσβολάς τοῦ Βελίαρ, τύχοιμεν πάντες πρεσβείαις Γερασίμου, τοῦ ἐκ Τρικάλων Κορίνθου ὁρμηθέντος.

Θεοτοκίον. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. Τιμᾶσθαι πρέπον Σόν τόκον Θεοτόκε, τόν ἀπαλλάξαντα ἀρᾶς τῶν Προπατόρων γένος ἀνθρώπων, Χριστόν τόν Ζωοδότην.

Ὠδή θ’.

Ὁ Εἱρμός. Κυρίως Θεοτόκον. Ἅγιε τοῦ Θεοῦ Μακάριε, πρέσβευε ὑπέρ ἡμῶν. Ὡς μέγας Ἱεράρχης καί ἐν Ὁσίοις μέγας, παρ’ Ὀρθοδόξων τιμᾶσθω Μακάριος, ὁ Κολλυβάδων Πατήρ τε καί πρόμαχος.

Ἅγιε τοῦ Θεοῦ Βλάσιε, πρέσβευε ὑπέρ ὑμῶν. Νικῆσαι τοῦ Βελίαρ, πρεσβείαις Ἱεράρχου καί ἱκεσίαις Βλασίου ἐλπίζομεν, ὡς τοῦ Κυρίου θεράποντος γεγονότος.

Ἅγιε τοῦ Θεοῦ Γεράσιμε, πρέσβευε ὑπέρ ἡμῶν. Ἰδεῖν τῆς Βασιλείας Κυρίου τῷ ἀπροσίτῳ, ζωοποιῷ τε φωτί νῦν αἰτούμεθα, ταῖς Γερασίμου ἐνθέρμοις δεήσεσι.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἡμῶν. Ὁρμήσατε, Πατέρες, ψυχάς ἡμῶν είς ὅρμον καί είς λιμένα ἀσφαλῆ καί σωτήριον, ταῖς Σαῖς πρεσβείαις πρός Κύριον, Ἅγιοι. Θεοτοκίον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. Σῶσον ἡμᾶς, Παρθένε, πρεσβείαις τῶν Πατέρων καί τόν Υἱόν Σου

εὐσυμπάθητον ποίησον, Σοί μεσιτεία πρός Κύριον τόν Μέγαν.
Καί εὐθύς, τοῦ Ἱερέως θυμιῶντος τό Ἱερόν Θυσιαστήριον καί τόν εὐσεβῆ λαόν, ψάλλονται τά παρόντα Μεγαλυνάρια:

Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.
Χαῖροις τῶν Πατέρων παρεμβολή, κώμης τῶν Τρικάλων ὁ προστάτης καί βοηθός, Βλάσιε μάκαρ, σύν θείῳ Γερασίμῳ, ὁμοῦ τῷ Μακαρίῳ τῷ οὐρανόφρονι.
Βλάσιε Πάτερ Θαυματουργέ, ἡμᾶς τούς προσιόντας τῇ Εἰκόνι Σου τῇ σεπτῇ, τῇ ἀποκειμένῃ εἰς τήν ἐν Τρικάλοις Μονήν Σου τήν ἁγίαν, πάντας περίσωζε.
Γεράσιμον τόν θεῖον πάντες πιστοί, τῆς Κεφαλληνίας τόν προστάτην καί ὁδηγόν, τόν παρά Κυρίου κατά δαιμόνων χάριν, πλουσίαν εἰληφότα, νῦν εὐφημήσωμεν.
Μακάριον Τρικάλων γόνον λαμπρόν, Χίου τόν προστάτην, Κολλυβάδων ὑφηγητήν, Ἀχράντων Μυστηρίων τῆς Θείας Κοινωνίας, διδάσκαλον τόν μέγαν, νῦν ἀνυμνήσωμεν.

Πατέρες οὐρανόφρονες τήν ἡμῶν πτωχήν ἱκεσίαν προσδεχόμενοι, ἐφ' ἡμᾶς πλουσίαν ἐπομβρήσατε τήν χάριν τοῦ Παρακλήτου, ὡς δοχεῖα Αὐτοῦ ἔντιμα. Κράζωμεν εὐγνωμόνως χαῖρε Ἁγνῆ, ὅτι εὐαρεστῆσαι τῇ Εἰκόνι Σου τῇ σεπτῇ, τῇ ἀποκειμένῃ Μονῇ Κορυφιωτίσσης, δοξάζοντες τήν θείαν οἰκονομίαν Σου.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τοῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς. Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα.

Ἦχος πλ. β'. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα. Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν. Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἦχος α’. Τῆς ἐρήμου πολίτης. Τούς ἐν Τρικάλοις Πατέρας καί Ἁγίους τιμήσωμεν, ὁμοῦ τῷ Γερασίμῳ Ἱερομάρτυρα Βλάσιον, σύν θείῳ Μακαρίῳ Νοταρᾷ· αὐτοί γάρ τῆς Τριάδος ἐρασταί, ἀναδειχθέντες ἀγῶσι πνευματικοῖς, ἀξίως ἐκομίσαντο τά βραβεῖα· δόξα, οὖν, ἐκβοήσωμεν αὐτοῖς, δόξα τῷ ἀναδείξαντι, δόξα τῷ ἐν Ἁγίοις θαυμαστῷ, Χριστῷ τῷ Θεῷ ἡμῶν.

Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου. Δεῦτε τήν τριάδα τήν σεπτήν, τῶν ἐν Τρικάλοις Πατέρων, πάντες τιμήσωμεν, Βλάσιον τόν ἔνδοξον, σύν Μακαρίῳ ὁμοῦ Γερασίμῳ καί εἴπωμεν αὐτοῖς μελῳδοῦντες, χαίρετε τρισόλβιοι Τριάδος πρόμαχοι, Πατέρες, Ἐκκλησίας φωστῆρες καί ἡμῶν προστάται ἐν ἀνάγκαις, πάντων τε Ὀρθοδόξων οἱ ἀμύντορες.

Τήν πᾶσαν ἐλπίδα μου, εἰς Σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην Σου.